𝔊 δέ, βασιλεῦ, σκέψαι μή τί σοι ἀσύμφωνον γεγένηται. καὶ εὗρον,
ὡς ἦν ἡ σφραγίς, καὶ ἀπέβαλον τὴν σφραγῖδα. [18]καὶ ἀνοίξαντες 18
τὰς θύρας εἴδοσαν δεδαπανημένα πάντα τὰ παρατεθέντα καὶ τὰς
τραπέζας κενάς· καὶ ἐχάρη ὁ βασιλεὺς καὶ εἶπεν πρὸς τὸν Δανιηλ
Μέγας ἐστὶν ὁ Βηλ, καὶ οὐκ ἔστι παρ᾽ αὐτῷ δόλος. [19]καὶ ἐγέλασε 19
Δανιηλ σφόδρα καὶ εἶπεν τῷ βασιλεῖ Δεῦρο ἰδὲ τὸν δόλον τῶν
ἱερέων. καὶ εἶπεν Δανιηλ Βασιλεῦ, ταῦτα τὰ ἴχνη τίνος ἐστί; [20]καὶ 20
εἶπεν ὁ βασιλεύς Ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων. [21]καὶ ἐπῆλθεν 21
ἐπὶ τὸν οἶκον, ἐν ᾧ ἦσαν οἱ ἱερεῖς καταγινόμενοι, καὶ εὗρε τὰ
βρώματα τοῦ Βηλ καὶ τὸν οἶνον· καὶ ἐπέδειξε Δανιηλ τῷ βασιλεῖ
τὰ ψευδοθύρια, δι᾽ ὧν εἰσπορευόμενοι οἱ ἱερεῖς ἐδαπάνων τὰ παρα-
τιθέμενα τῷ Βηλ. [22]καὶ ἐξήγαγεν αὐτοὺς ὁ βασιλεὺς ἐκ τοῦ Βηλίου 22
καὶ παρέδωκεν αὐτοὺς τῷ Δανιηλ· καὶ τὴν δαπάνην τὴν εἰς αὐτὸν
ἔδωκε τῷ Δανιηλ, τὸν δὲ Βηλ κατέστρεψε.
[23]Καὶ ἦν δράκων ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐσέβοντο αὐτὸν οἱ Βα- 23
βυλώνιοι. [24]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιηλ Μὴ καὶ τοῦτον ἐρεῖς 24
ὅτι χαλκοῦς ἐστιν; ἰδοὺ ζῇ καὶ ἐσθίει καὶ πίνει· προσκύνησον
αὐτῷ. [25]καὶ εἶπεν Δανιηλ Βασιλεῦ, δός μοι τὴν ἐξουσίαν, καὶ ἀν- 25

23 init.] pr. inscr. δρακων Sy | αυτον > 88

---

θ′ Σῷοι αἱ σφραγῖδες, Δανιηλ; ὁ δὲ εἶπεν Σῷοι, βασιλεῦ. [18]καὶ ἐγέ- 18
νετο ἅμα τῷ ἀνοῖξαι τὰς θύρας ἐπιβλέψας ὁ βασιλεὺς ἐπὶ τὴν
τράπεζαν ἐβόησεν φωνῇ μεγάλῃ Μέγας εἶ, Βηλ, καὶ οὐκ ἔστιν
παρὰ σοὶ δόλος οὐδὲ εἷς. [19]καὶ ἐγέλασεν Δανιηλ καὶ ἐκράτησεν 19
τὸν βασιλέα τοῦ μὴ εἰσελθεῖν αὐτὸν ἔσω καὶ εἶπεν Ἰδὲ δὴ τὸ
ἔδαφος καὶ γνῶθι τίνος τὰ ἴχνη ταῦτα. [20]καὶ εἶπεν ὁ βασιλεύς 20
Ὁρῶ τὰ ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων. [21]καὶ ὀργισθεὶς 21
ὁ βασιλεὺς τότε συνέλαβεν τοὺς ἱερεῖς καὶ τὰς γυναῖκας καὶ τὰ
τέκνα αὐτῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας, δι᾽ ὧν εἰσ-
επορεύοντο καὶ ἐδαπάνων τὰ ἐπὶ τῇ τραπέζῃ. [22]καὶ ἀπέκτεινεν αὐ- 22
τοὺς ὁ βασιλεὺς καὶ ἔδωκεν τὸν Βηλ ἔκδοτον τῷ Δανιηλ, καὶ κατ-
έστρεψεν αὐτὸν καὶ τὸ ἱερὸν αὐτοῦ.
[23]Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι. 23
[24]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιηλ Οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν 24
οὗτος θεὸς ζῶν· καὶ προσκύνησον αὐτῷ. [25]καὶ εἶπεν Δανιηλ Κυ- 25
ρίῳ τῷ θεῷ μου προσκυνήσω, ὅτι οὗτός ἐστιν θεὸς ζῶν· σὺ δέ,

17 σωοι $1^{0}$ (non $2^{0}$)] σωαι A pau.: cf. Thack. p. 172 || 19 εγελασεν .. και $2^{0}$] γελασας .. A† | και ειπεν > A† || 21 συνελαβεν] -βετο A || 23 μεγας] + εν τω τοπω A: cf. 𝔊 || 24 ου δυνασαι — θεος ζων B*†] pr. ιδου δη pau.; pr. μη και τουτον ερεις οτι χαλκους εστιν ιδου ζη και εσθιει και πινει rel.: ex 𝔊

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/943 UNIVERSITÄT LEIPZIG